Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

Theodoretus <Cyrrhensis>

Mogvntiae, 1679

V. Quomodo Joannes Antiochensis Episcopus, quum post quintum diem advenisset, Cyrillum Alexandriae & Memnomen Ephesi Episcopos destituit: qui mox à Synodo innocentes pronuntiati sunt; & Joannes unà ...

urn:nbn:de:hbz:466:1-14162

Visual Library

canonum auctoritate & Epistola sanctissimi Patris & Collegæ nostri Celestini Ecclesiæ Romanæ Episcopi, post multos fletus ad hanc tristem sententiam tandem processimus. Igitur Dominus noster Jesus Christus, contra quem impie locutus est Nestorius, per hanc sacrosanctam Synodum decrevit, eundem Nestorium & ab Episcopali dignitate, & ab omni sacerdotali conventu extraneum esse.

A τες ἀπό τε τῶν κανόνων, καὶ ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ συλλειτουργοῦ Κελεστίνου τοῦ ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας, δακρύσαντες πολλάκις, ἐπὶ ταύτην τὴν σκυθρωπὸν ἐχωρήσαμεν ἀπόφασιν. ὁ βλασφημηθεὶς τοίνυν παρ' αὐτοῦ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὥρισε διὰ τῆς παρούσης ἁγίας συνόδου, ἀλλότριον εἶναι τὸν αὐτὸν Νεστόριον τοῦ τε ἐπισκοπικοῦ ἀξιώματος, καὶ παντὸς συλλόγου ἱερατικοῦ.

## Cap. V.

*Quomodo Joannes Antioch. Episcopus quum post quintum diem advenisset, Cyrillum Alexandriæ & Memnonem Ephesi Episcopos destituit. Qui mox à Synodo innocentes pronuntiati sunt, & Joannes una cum suis depositus. Et quomodo Cyrillus ac Joannes interventu Imp. Theodosii, in gratiam redierint, & Nestorii depositionẽ confirmaverint.*

Post legitimam hanc & justissimam sententiam, Joannes Antiochenus Episcopus unà cum Antistitibus suis venit, quinto post die quam Nestorius fuerat destitutus. Et collecto Episcoporum suorum Concilio, Cyrillum deponit ac Memnonem. Sed cum Cyrillus ac Memnon libellos obtulissent Synodo illi, quæ cum ipsis fuerat congregata, licet Socrates per ignorationem id paulo aliter retulerit, accersitus est Joannes ut depositionis à se factæ rationem redderet. Qui cum post tres continuas vocationes non adfuisset, Cyrillus quidem ac Memnon à depositionis sententia absoluti sunt: Joannes vero & qui cum illo erant Episcopi, ab Ecclesiastica communione & ab omni sacerdotali auctoritate submoti. Porro Imperator Theodosius, initio quidem depositionem Nestorii haudquaquam probavit: Postea vero cognita ejus impietate, cum litteras admodum pias ad Cyrillum & Joannem Episcopos scripsisset, illi inter se conciliati sunt, & depositionem Nestorii confirmarunt.

## Κεφ. έ.

B *Ὡς μετὰ πέντε ἡμέρας ἐλθὼν ὁ Ἀντιοχείας Ἰωάννης, καθαιρεῖ Κύριλλον τὸν Ἀλεξανδρείας καὶ Μέμνονα τὸν Ἐφέσου, οὓς ἡ σύνοδος πάλιν ἠθώωσεν, καθελοῦσα Ἰωάννην καὶ τοὺς μετ' αὐτοῦ· καὶ ὅπως διὰ Θεοδοσίου τοῦ βασιλέως συμβαίνουσι Κύριλλος καὶ Ἰωάννης, κυρώσαντες ἔτι καὶ τὴν Νεστορίου καθαίρεσιν.*

Μετὰ γοῦν τὴν ἐννομωτάτην καὶ δικαίαν ταύτην ἀπόφασιν, ἐφίσταται τῇ Ἐφεσίων Ἰωάννης ὁ τῆς Ἀντιοχείας μετὰ τῶν ἀμφ' αὐτὸν ἱερέων ἡμέρας πέντε τῆς καθαιρέσεως ὑστερήσας· καὶ συναλίσας πάντας τοὺς ἀμφ' αὐτόν, καθαιρεῖ Κύριλλον καὶ Μέμνονα. ἐκ δὲ λιβέλλων ἐπιδεδομένων παρὰ Κυρίλλου καὶ Μέμνονος τῇ ἅμα σφίσι συν-
C αθροισθείσῃ συνόδῳ, εἰ καὶ Σωκράτης ἀγνοήσας ἑτέρως ἱστόρησε, μετακαλεῖται Ἰωάννης ἐφ' ᾧ πεποίηκεν ἀπολογησόμενος καθαιρέσει. οὗ μὴ συνεληλυθότος μετὰ τρεῖς τὰς γινομένας κλήσεις, ἀπολύονται μὲν τῆς καθαιρέσεως Κύριλλος καὶ Μέμνων· ἀποκρίνονται δὲ τῆς ἁγίας κοινωνίας καὶ πάσης αὐθεντίας ἱερατικῆς, Ἰωάννης καὶ οἱ ἀμφ' αὐτὸν ἱερεῖς. καὶ πρῶτα μὲν Θεοδοσίου μὴ προσιεμένου τὴν Νεστορίου καθαίρεσιν, ὕστερον δὲ τὴν ἐκείνου βλασφημίαν ἐγνωκότος, εὐσεβέσι τε ἄγαν γράμμασι χρησαμένου πρός τε Κύριλλον καὶ Ἰωάννην τοὺς ἐπισκόπους, συμβαίνουσι
D πρὸς ἀλλήλους, τὴν Νεστορίου καθαίρεσιν ἐπικυρώσαντες.

## Cap. VI.

*De Paulo Emisæ Episcopo, qui Alexandriam missus est. Et qualiter Cyrillus Joannis Epistolam laudavit.*

Cum Paulus Emisenorum Episcopus Alexandriam venisset, & sermonem, qui hodieque exstat, ea de re habuisset in Ecclesia. Quo quidem tempore Cyrillus cum Epistolam Joannis plurimum laudasset, hæc ad verbum scripsit: Lætentur cœli & exultet terra. Dirutus enim est paries

## Κεφ. ς'.

*Περὶ Παύλου τοῦ Ἐμέσης εἰς Ἀλεξάνδρειαν ἐλθόντος, καὶ ἔπαινος Κυρίλλου διὰ τὴν ἐπιστολήν.*

Παύλου τε τοῦ Ἐμέσης ἐπισκόπου πρὸς τὴν Ἀλεξάνδρου πόλιν γινομένου, ἐπί τε τῆς ἐκκλησίας τὸν περὶ τούτου φερόμενον λόγον ὁμιλήσαντος, ὁπηνίκα καὶ Κύριλλος τὴν ἐπιστολὴν Ἰωάννου εὖ μάλα ἐπαινέσας, ἐπὶ ῥήματος γέγραφε ταῦτα. εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ. λέλυται